*Accompagnement* du programme de Troisième :
Textes complémentaires

Lucien, *Dialogue des morts*

ΦΙΛΙΠΠΟΣ
Νῦν μὲν, ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο μή οὐκ ἔμος υἱός εἶναι · οὐ γὰρ ἂν ἐτεθνήκεις, Αμμωνός γε ὢν.
ΑΛΕΞΑΝΔΡΟΣ
Οὐδ᾽ αὐτὸς ἠγνόουν, ὦ πάτερ, ὥς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι· ἀλλ᾽ ἐδεξάμην τὸ μάντευμα, χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι.
ΦΙΛΙΠΠΟΣ
Τί λέγεις ; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν ;
ΑΛΕΞΑΝΔΡΟΣ
Οὐ τοῦτο, ἄλλ᾽ οἱ Βάρβαροι κατεπλάγησάν με καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενος θεῷ μάχεσθαι ὥστε ῥᾷον ἐκράτουν αὐτῶν.

* * *

Νικήσας τοὺς παῖδας, ἐπει᾽ καλὰ γράμματ᾽ ἔγραψεν,
Κόνναρος ὀγδώκοντ᾽ ἀστραγάλους ἔλαβεν ·
κἀμε χάριν Μούσαις τὸν κωμικὸν ὧδε Χάρητα
πρεσβύτην θορύβῳ θῆκέ μοι παιδαρίων.

*Anthologie Palatine* VI, 308
(Asclépiade de Samos)

Δωδεκέτη τὸν παῖδα πατὴρ ἀπέθηκε Φίλιππος
ἐνθάδε, τὴν πολλὴν ἐλπίδα, Νικοτέλην.

*Anthologie Palatine* VII, 453
(Callimaque)

Μάνης οὗτος ἀνὴρ ἦν ζῶν ποτέ · νῦν δὲ τεθνηκὼς
ἶσον Δαρείῳ τῷ μεγάλῳ δύναται.

*Anthologie Palatine* VII, 538
(Anyté de Tégée)

Δαμοκρίτῳ μὲν ἐγώ, λιγυρὰν ὅκα μοῦσαν ἀνείην
ἀκρὶς ἀπὸ πτερύγων, τὸν βαθὺν ἆγον ὕπνον ·
Δαμόκριτος δ᾽ ἐπ᾽ ἐμοὶ τὸν ἐοικότα τύμβον, ὁδίτα,
ἐγγύθεν Ὠρωποῦ χεῦεν ἀποφθιμένᾳ.

*Anthologie Palatine* VII, 197
(Phaennos)